Β' Χαιρετισμοί



Επισκεφτείτε τον ιστοχώρο μας στην διεύθυνση: http://www.saint.gr/186/saint.aspx για περισσότερες πληροφορίες για τον βίο (ονόματα, βίντεο, ακολουθίες, φωτογραφίες κτλ) καθώς και για τυχών ενημερώσεις - διορθώσεις.

Τελευταία ενημέρωση βιογραφίας: 27/3/2011 4:08:00 πμ
Δημιουργία εγγράφου: 13/11/2026 16:31:18

Σύνοψη

Τύπος εορτής: Εορτάζει 37 ημέρες πριν το Άγιο Πάσχα.

Ημ/νια Βίου: 27/3/2011 4:08:00 πμ

Βιογραφία

Πληροφορίες για τον Ακάθιστο Ύμνο βλέπε εδώ.

Ακάθιστος Ύμνος - Β' Στάσις

Ἤκουσαν οἱ ποιμένες,

τῶν Ἀγγέλων ὑμνούντων,

τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν·

καὶ δραμόντες ὡς πρὸς ποιμένα,

θεωροῦσι τοῦτον ὡς ἀμνὸν ἄμωμον,

ἐν γαστρὶ τῆς Μαρίας βοσκηθέντα,

ἣν ὑμνοῦντες εἶπον·

Χαῖρε, Ἀμνοῦ καὶ Ποιμένος Μῆτερ,

χαῖρε, αὐλὴ λογικῶν προβάτων.

Χαῖρε, ἀοράτων ἐχθρῶν ἀμυντήριον,

χαῖρε, Παραδείσου θυρῶν ἀνοικτήριον.

Χαῖρε, ὅτι τὰ οὐράνια συναγάλλεται τῇ γῇ,

χαῖρε, ὅτι τὰ ἐπίγεια συγχορεύει οὐρανοῖς.

Χαῖρε, τῶν Ἀποστόλων τὸ ἀσίγητον στόμα,

χαῖρε, τῶν Ἀθλοφόρων τὸ ἀνίκητον θάρσος.

Χαῖρε, στερρὸν τῆς πίστεως ἔρεισμα,

χαῖρε, λαμπρὸν τῆς Χάριτος γνώρισμα.

Χαῖρε, δι' ἧς ἐγυμνώθη ὁ Ἅδης,

χαῖρε, δι' ἧς ἐνεδύθημεν δόξαν.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Θεοδρόμον ἀστέρα,

θεωρήσαντες Μάγοι,

τῇ τούτου ἠκολούθησαν αἴγλῃ·

καὶ ὡς λύχνον κρατοῦντες αὐτόν,

δι' αὐτοῦ ἠρεύνων κραταιὸν Ἄνακτα,

καὶ φθάσαντες τὸν ἄφθαστον,

ἐχάρησαν αὐτῷ βοῶντες·

Ἀλληλούια.

Ἴδον παῖδες Χαλδαίων,

ἐν χερσὶ τῆς Παρθένου,

τὸν πλάσαντα χειρὶ τοὺς ἀνθρώπους·

καὶ Δεσπότην νοοῦντες αὐτόν,

εἰ καὶ δούλου μορφὴν ἔλαβεν,

ἔσπευσαν τοῖς δώροις θεραπεῦσαι,

καὶ βοῆσαι τῇ Εὐλογημένῃ·

Χαῖρε, ἀστέρος ἀδύτου Μήτηρ,

χαῖρε, αὐγὴ μυστικῆς ἡμέρας.

Χαῖρε, τῆς ἀπάτης τὴν κάμινον σβέσασα,

χαῖρε, τῆς Τριάδος τοὺς μύστας φωτίζουσα.

Χαῖρε, τύραννον ἀπάνθρωπον ἐκβαλοῦσα τῆς ἀρχῆς,

χαῖρε, Κύριον φιλάνθρωπον ἐπιδείξασα Χριστόν.

Χαῖρε, ἡ τῆς βαρβάρου λυτρουμένη θρησκείας,

χαῖρε, ἢ τοῦ βορβόρου ρυομένη τῶν ἔργων.

Χαῖρε πυρὸς προσκύνησιν παύσασα,

χαῖρε, φλογὸς παθῶν ἀπαλλάττουσα.

Χαῖρε, πιστῶν ὁδηγὲ σωφροσύνης,

χαῖρε, πασῶν γενεῶν εὐφροσύνη.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Κήρυκες θεοφόροι,

γεγονότες οἱ Μάγοι,

ὑπέστρεψαν εἰς τὴν Βαβυλῶνα,

ἐκτελέσαντές σου τὸν χρησμόν,

καὶ κηρύξαντές σε τὸν Χριστὸν ἅπασιν,

ἀφέντες τὸν Ἡρώδην ὡς ληρώδη,

μὴ εἰδότα ψάλλειν·

Ἀλληλούια.

Λάμψας ἐν τῇ Αἰγύπτῳ,

φωτισμὸν ἀληθείας ἐδίωξας,

τοῦ ψεύδους τὸ σκότος·

τὰ γὰρ εἴδωλα ταύτης Σωτήρ,

μὴ ἐνέγκαντά σου τὴν ἰσχὺν πέπτωκεν,

οἱ τούτων δὲ ρυσθέντες,

ἐβόων πρὸς τὴν Θεοτόκον·

Χαῖρε, ἀνόρθωσις τῶν ἀνθρώπων,

χαῖρε, κατάπτωσις τῶν δαιμόνων.

Χαῖρε, τὴν ἀπάτης τὴν πλάνην πατήσασα,

χαῖρε, τῶν εἰδώλων τὴν δόξαν ἐλεγξασα.

Χαῖρε, θάλασσα ποντίσασα Φαραὼ τὸν νοητόν,

χαῖρε, πέτρα ἡ ποτίσασα τοὺς διψῶντας τὴν ζωὴν.

Χαῖρε, πύρινε στῦλε ὁδηγῶν τοὺς ἐν σκότει,

χαῖρε, σκέπη τοῦ κόσμου πλατυτέρα νεφέλης.

Χαῖρε, τροφὴ τοῦ μάνα διάδοχε,

χαῖρε, τρυφῆς ἁγίας διάκονε.

Χαῖρε, ἡ γῆ τῆς ἐπαγγελίας,

χαῖρε, ἐξ ἧς ρέει μέλι καὶ γάλα.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Μέλλοντος Συμεῶνος,

τοῦ παρόντος αἰῶνος,

μεθίστασθαι τοῦ ἀπατεῶνος,

ἐπεδόθης ὡς βρέφος αὐτῷ,

ἀλλ' ἐγνώσθης τούτω καὶ Θεὸς τέλειος·

διόπερ ἐξεπλάγη σου τὴν ἄρρητον σοφίαν,

κράζων·

Ἀλληλούια.


Αγιογραφίες / Φωτογραφίες



Ἤκουσαν οἱ ποιμένες, τῶν Ἀγγέλων ὑμνούντων....



Θεοδρόμον ἀστέρα, θεωρήσαντες Μάγοι....



Ἴδον παῖδες Χαλδαίων....



Κήρυκες θεοφόροι....



Λάμψας ἐν τῇ Αἰγύπτῳ, φωτισμὸν ἀληθείας ἐδίωξας....



Μέλλοντος Συμεῶνος, τοῦ παρόντος αἰῶνος....



Χαῖρε, τῆς ἀπάτης τὴν κάμινον σβέσασα....



Χαῖρε, θάλασσα ποντίσασα Φαραὼ τὸν νοητόν....



Χαῖρε, πέτρα ἡ ποτίσασα τοὺς διψῶντας τὴν ζωήν....



Χαῖρε, πύρινε στῦλε ὁδηγῶν τοὺς ἐν σκότει....

Σχετικές συνδέσεις

1. Α' Χαιρετισμοί
2. Γ' Χαιρετισμοί
3. Δ' Χαιρετισμοί
4. Ακάθιστος Ύμνος

Παραπομπές

1. ΜΥΡΙΟΒΙΒΛΟΣ